CAMBRIDGE

Cambridge University Press
978-1-107-46100-0 - The Book of Isaiah: According to the Septuagint: (Codex Alexandrinus)
Edited by R. R. Ottley
Excerpt
More information

# ΗΣΑΙΑΣ

*προφήτης ιγʹ.*

1 **I.** 1 Ὅρασις ἣν εἶδεν Ἡσαίας υἱὸς Ἀμώς, ἣν εἶδεν κατὰ τῆς
Ἰουδαίας καὶ κατὰ Ἰερουσαλήμ, ἐν βασιλείᾳ Ὀζίου καὶ Ἰωαθὰμ καὶ
2 Ἀχὰς καὶ Ἑζεκίου οἳ ἐβασίλευσαν τῆς Ἰουδαίας. 2 Ἄκουε, οὐρανέ,
καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν. υἱοὺς ἐγέννησα καὶ ὕψωσα,
3 αὐτοὶ δέ με ἠθέτησαν. 3 ἔγνω βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν
φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ
4 συνῆκεν. 4 οὐαὶ ἔθνος ἁμαρτωλόν, λαὸς πλήρης ἁμαρτιῶν, σπέρμα
πονηρόν, υἱοὶ ἄνομοι. ἐγκατελίπετε τὸν κύριον καὶ παρωργίσατε
5 τὸν ἅγιον τοῦ Ἰσραήλ. 5 τί ἔτι πληγῆτε προστιθέντες ἀνομίαν;
6 πᾶσα κεφαλὴ εἰς πόνον καὶ πᾶσα καρδία εἰς λύπην. 6 ἀπὸ ποδῶν
ἕως κεφαλῆς, οὔτε τραῦμα οὔτε μώλωψ οὔτε πληγὴ φλεγμαίνουσα,
7 οὐκ ἔστιν μάλαγμα ἐπιθεῖναι οὔτε ἔλαιον οὔτε καταδέσμους. 7 ἡ γῆ
ὑμῶν ἔρημος, αἱ πόλεις ὑμῶν πυρίκαυστοι· τὴν χώραν ὑμῶν ἐνώπιον
ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτήν, καὶ ἠρήμωται κατεστραμμένη
8 ὑπὸ λαῶν ἀλλοτρίων. 8 ἐγκαταλειφθήσεται ἡ θυγάτηρ Σιὼν ὡς
σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηράτῳ, ὡς πόλις
9 πολιορκουμένη· 9 καὶ εἰ μὴ Κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν
σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν.
10 10 Ἀκούσατε λόγον Κυρίου, ἄρχοντες Σοδόμων· προσέχετε νόμον
11 θεοῦ, λαὸς Γομόρρας. 11 τί ἐμοὶ πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει
Κύριος· πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν καὶ

I Om *προφητης ιγʹ* ℵBQ. 4 *εγκατελειπετε* AQ 26 al *εγκατελιπατε* ℵB. *Ισραηλ*] + *αλλοτριωθησαν εις τα οπισω* 22 al. 6 *κεφαλης*] + *ουκ εστιν εν αυτω ολοκληρια* V 22 al. 7 *αυτη* A* -*την* A[1]. 8 *συκυηρατω* ℵ*[d.a] A *σικυηλατω* B[ab] 22 pl *σικυηρ.* B*. 9 *εγκατελειπεν* AQ 41 al. *εγεννηθημεν* A. *ομοιωθημεν* AQ*. 11 om *πληρης ειμι* 62 147.



© in this web service Cambridge University Press www.cambridge.org

Cambridge University Press
978-1-107-46100-0 - The Book of Isaiah: According to the Septuagint: (Codex Alexandrinus)
Edited by R. R. Ottley
Excerpt
More information



12 αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι, [12]οὐδ' ἂν ἔρχησθε ὀφθῆναί
μοι. τίς γὰρ ἐξεζήτησεν ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; πατεῖν τὴν
13 αὐλήν μου [13]οὐ προσθήσεσθε· ἐὰν φέρητέ μοι σεμίδαλιν, μάταιον·
θυμίαμα, βδέλυγμά μοί ἐστιν· τὰς νουμηνίας ὑμῶν καὶ τὰ σάββατα
14 καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι· νηστείαν καὶ ἀργείαν [14]καὶ τὰς
νουμηνίας ὑμῶν καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου· ἐγενήθητέ
15 μοι εἰς πλησμονήν, οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν. [15]ὅταν τὰς
χεῖρας ἐκτείνητε πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν·
καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν, αἱ γὰρ χεῖρες
16 ὑμῶν αἵματος πλήρεις. [16]λούσασθε, καθαροὶ γένεσθε, ἀφέλετε τὰς
πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου·
17 παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν, [17]μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε
κρίσιν, ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανῷ καὶ δικαιώσατε χήραν.
18 [18]καὶ δεῦτε καὶ διελεγχθῶμεν, λέγει Κύριος· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι
ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ, ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς
19 ἔριον λευκανῶ. [19]καὶ ἐὰν θέλετε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ
20 τῆς γῆς φάγεσθε· [20]ἐὰν δὲ μὴ θέλητε μηδὲ εἰσακούσητέ μου,
μάχαιρα ὑμᾶς κατέδεται· τὸ γὰρ στόμα Κυρίου ἐλάλησεν ταῦτα.
21 [21]Πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιών, πλήρης κρίσεως; ἐν ᾗ
22 δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ, νῦν δὲ φονευταί. [22]τὸ ἀργύριον ὑμῶν
ἀδόκιμον· [αἱ πόλεις ὑμῶν πυρίκαυστοι·] οἱ κάπηλοί σου μίσγουσιν
23 τὸν οἶνον ὕδατι· [23]οἱ ἄρχοντές σου ἀπειθοῦσιν κοινωνοὶ κλεπτῶν,
ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες καὶ
24 κρίσιν χήρας οὐ προσέχοντες. [24]διὰ τοῦτο τάδε λέγει ὁ δεσπότης
Κύριος σαβαὼθ Οὐαὶ οἱ ἰσχύοντες Ἰερουσαλήμ· οὐ παύσεται γάρ
μου ὁ θυμὸς ἐν τοῖς ὑπεναντίοις, καὶ κρίσιν ἐκ τῶν ἐχθρῶν μου ποιήσω.
25 [25]καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ σὲ καὶ πυρώσω σε εἰς καθαρόν, τοὺς

13 om *μοι* 1° ℵBQ pl. *ανεξομαι* 24 87 al. *αργιαν* ℵBQ. 14 om *και τας νουμηνιας υμων* ℵ 22 106 al. 15 *εκτεινητε τας χειρας* B. om *προς με* B Cyp (Test i 24). 17 *χηρα* B*Q al (*χηραν* B[ab]) *viduam* Cyp (Test i 24) Iren-lat Lucifer. 18 om *και* 2° B *venite disputemus* Cyp. *διελεγχωμεν* Q* *διαλεχθωμεν* 106 al. 19 *θελητε* MSS exc A. 22 *αι πολ. υμ. πυρικαυστοι* A (cf ver 7). 23 *κρισιν*] *κρισει* 22 24 pl. *χηρων* B 22 al. 24 *Κυριος ο δεσπ. σαβ.* B om *ο δεσποτης* V 87. *οι ισχ.*] *τοις ισχυουσι* 22 al + *ο δυναστης του* 36 al. *Ιερουσαλημ*] *Ισραηλ* MSS exc A. 25 om *σε* 2° B.

© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-107-46100-0 - The Book of Isaiah: According to the Septuagint: (Codex Alexandrinus)
Edited by R. R. Ottley
Excerpt
More information



δὲ ἀπειθοῦντας ἀπολέσω, καὶ ἀφελῶ πάντας ἀνόμους ἀπὸ σοῦ· [καὶ
26 πάντας ὑπερηφάνους ταπεινώσω.] [26]καὶ ἐπιστήσω τοὺς κριτάς σου
ὡς τὸ πρότερον, καὶ τοὺς συμβούλους σου ὡς τὸ ἀπ' ἀρχῆς· καὶ
μετὰ ταῦτα κληθήσῃ Πόλις δικαιοσύνης, μητρόπολις πιστὴ Σιών.
27 [27]μετὰ γὰρ κρίματος σωθήσεται ἡ αἰχμαλωσία αὐτῆς καὶ μετὰ
28 ἐλεημοσύνης. [28]καὶ συντριβήσονται οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ
29 ἅμα, καὶ οἱ ἐγκαταλιπόντες τὸν κύριον συντελεσθήσονται· [29]διότι
καταισχυνθήσονται ἐπὶ τοῖς εἰδώλοις αὐτῶν ἃ αὐτοὶ ἠβούλοντο, καὶ
30 ἐπαισχυνθήσονται ἐπὶ τοῖς κήποις αὐτῶν ἃ ἐπεθύμησαν. [30]ἔσονται
γὰρ ὡς τερέβινθος ἀποβεβληκυῖα τὰ φύλλα, καὶ ὡς παράδεισος
31 ὕδωρ μὴ ἔχων· [31]καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν ὡς καλάμη στιππύου, καὶ
αἱ ἐργασίαι αὐτῶν ὡς σπινθῆρες πυρός, καὶ κατακαυθήσονται οἱ
ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οὐκ ἔσται ὁ σβέσων.

1 **II.** [1]Ὁ λόγος ὁ γενόμενος παρὰ Κυρίου πρὸς Ἠσαίαν υἱὸν
Ἀμὼς περὶ τῆς Ἰουδαίας καὶ περὶ Ἰερουσαλήμ.

2 [2]Ὅτι ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος τοῦ
Κυρίου, καὶ ὁ οἶκος τοῦ θεοῦ ἐπ' ἄκρων τῶν ὀρέων, καὶ ὑψωθήσεται
3 ὑπεράνω τῶν βουνῶν, καὶ ἥξουσιν ἐπ' αὐτὸ πάντα τὰ ἔθνη. [3]καὶ
πορεύσονται ἔθνη πολλὰ καὶ ἐροῦσιν Δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος
τοῦ Κυρίου καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ Ἰακώβ, καὶ ἀναγγελεῖ ἡμῖν
τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ. ἐκ γὰρ Σειὼν ἐξελεύσεται
4 νόμος, καὶ λόγος Κυρίου ἐξ Ἰερουσαλήμ· [4]καὶ κρινεῖ ἀνὰ μέσον τῶν
ἐθνῶν, καὶ ἐλέγξει λαὸν πολύν· καὶ συγκόψουσιν τὰς μαχαίρας
αὐτῶν εἰς ἄροτρα καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα, καὶ οὐ λήμψεται
ἔτι ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν.
5 [5]Καὶ νῦν, ὁ οἶκος τοῦ Ἰακώβ, δεῦτε πορευθῶμεν τῷ φωτὶ Κυρίου.

25 om *και παντας υπερηφ. ταπεινωσω* B om *ταπεινωσω* V 87 al (cf xiii 11). 26 *δικαιωσυνης* A. 27 *και*] + *η αποστροφη αυτης* ℵ*(V) 301. 28 *εγκαταλειποντες* AQ[a]Γ 24 al. 29 *καταισχυνθησονται*] *αισχυνθ.* ℵB pl. *απο των ειδωλων* B al *εν τοις ειδ.* Q al. *επαισχυνθησονται*] *επησχυνθησαν* (ℵ)Q *ησχυνθησαν* B 109. om *αυτων* 2° ℵBQ pl. 31 *ωσπινθηρες* ℵA. om *πυρος* BQ.

II 1 om *παρα Κυριου* BQ pl. 2 om *του* 1° ℵBQ pl. *ακρου* B al. 3 *δευτε*] + *και* ℵB pl. om *του* 1° ℵBQ al. 4 *των εθνων*] *εθνων πολλων* ℵV 36 al. *εξελεγξει* B al. *λημψεται*] *μη αρη* 24 49 al. om *ετι* ℵBQ pl. 5 om *του* B 22 93.



© in this web service Cambridge University Press www.cambridge.org

6 [6]ἀνῆκεν γὰρ τὸν λαὸν αὐτοῦ τὸν οἶκον τοῦ Ἰσραήλ· ὅτι ἐνεπλήσθη
ὡς τὸ ἀπ᾽ ἀρχῆς ἡ χώρα αὐτῶν κληδονισμῶν, ὡς ἡ τῶν ἀλλοφύλων,
7 καὶ τέκνα πολλὰ ἀλλόφυλα ἐγενήθη αὐτοῖς. [7]ἐνεπλήσθη γὰρ ἡ
χώρα αὐτῶν ἀργυρίου καὶ χρυσίου, καὶ οὐκ ἦν ἀριθμὸς τῶν θησαυρῶν
αὐτῶν· καὶ ἐνεπλήσθη ἡ γῆ αὐτῶν ἵππων, καὶ οὐκ ἦν ἀριθμὸς τῶν
8 ἁρμάτων αὐτῶν· [8]καὶ ἐνεπλήσθη ἡ γῆ βδελυγμάτων τῶν ἔργων
τῶν χειρῶν αὐτῶν, καὶ προσεκύνησαν οἷς ἐποίησαν οἱ δάκτυλοι
9 αὐτῶν· [9]καὶ ἔκυψεν ἄνθρωπος καὶ ἐταπεινώθη ἀνήρ, καὶ οὐ μὴ ἀνήσω
10 αὐτούς. [10]καὶ νῦν εἰσέλθατε εἰς τὰς πέτρας καὶ κρύπτεσθε εἰς τὴν
γῆν ἀπὸ προσώπου τοῦ φόβου Κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος
11 αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. [11]οἱ γὰρ ὀφθαλμοὶ Κυρίου
ὑψηλοί, ὁ δὲ ἄνθρωπος ταπεινός· καὶ ταπεινωθήσεται τὸ ὕψος τῶν
ἀνθρώπων, καὶ ὑψωθήσεται Κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.
12 [12]ἡμέρα γὰρ Κυρίου σαβαὼθ ἐπὶ πάντα ὑβριστὴν καὶ ὑπερήφανον
13 καὶ ἐπὶ πάντα ὑψηλὸν καὶ μετέωρον, καὶ ταπεινωθήσονται, [13]καὶ ἐπὶ
πᾶσαν κέδρον τοῦ Λιβάνου τῶν ὑψηλῶν καὶ μετεώρων, καὶ ἐπὶ πᾶν
14 δένδρον βαλάνου Βασάν, [14]καὶ ἐπὶ πᾶν ὄρος, καὶ ἐπὶ πάντα βουνὸν
15 ὑψηλόν, [15]καὶ ἐπὶ πάντα πύργον ὑψηλόν, καὶ ἐπὶ πᾶν τεῖχος ὑψηλόν,
16 [16]καὶ ἐπὶ πᾶν πλοῖον θαλάσσης, καὶ ἐπὶ πᾶσαν θέαν πλοίων κάλλους·
17 [17]καὶ ταπεινωθήσεται πᾶς ἄνθρωπος, καὶ πεσεῖται ὕψος ἀνθρώπων,
18 καὶ ὑψωθήσεται Κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. [18]καὶ τὰ χειρο-
19 ποίητα πάντα κατακρύψουσιν, [19]εἰσενέγκαντες εἰς τὰ σπήλαια καὶ
εἰς τὰς σχισμὰς τῶν πετρῶν καὶ εἰς τὰς τρώγλας τῆς γῆς, ἀπὸ
προσώπου τοῦ φόβου Κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ,
20 ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. [20]τῇ ἡμέρᾳ ἐκείνῃ ἐκβαλεῖ ἄνθρωπος
τὰ βδελύγματα αὐτοῦ τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ, ἃ ἐποίησεν προσ-
21 κυνεῖν, τοῖς ματαίοις καὶ ταῖς νυκτερίσιν, [21]τοῦ εἰσελθεῖν εἰς τὰς
τρώγλας τῆς στερεᾶς πέτρας καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν, ἀπὸ
προσώπου τοῦ φόβου Κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ,
ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν.

7 om *αυτων* 3° ℵBQ pl. 8 *οις εποιησαν*] *α εποιησαν* ℵ* om B. 9 *αυτους*] *αυτοις* ℵ*[c.b]Q 26 36 al. 10 *εισελθετε* BQ pl. 14 *ορος*]+ *υψηλον* ℵ 22 93 109 309 pl. 17 *υψος*] pr *το* 22 24 62 106 al *υβρις* B. 20 *ημερα*] pr *γαρ* MSS exc AQ 306. *εποιησαν* ℵBQ pl. 21 fin *γην*]+ *παυσασθε υμιν απο του ανθρωπου ω αναπνοη εν μυκτηρι αυτου οτι εν τινι ελογισθη αυτος* (22) 36 al.

CAMBRIDGE

Cambridge University Press
978-1-107-46100-0 - The Book of Isaiah: According to the Septuagint: (Codex Alexandrinus)
Edited by R. R. Ottley
Excerpt
More information



1 **III.** [1]Ἰδοὺ δὴ ὁ δεσπότης Κύριος σαβαὼθ ἀφελεῖ ἀπὸ τῆς
Ἰουδαίας καὶ ἀπὸ Ἰερουσαλὴμ ἰσχύοντα καὶ ἰσχύουσαν, ἰσχὺν ἄρτου
2 καὶ ἰσχὺν ὕδατος, [2]γίγαντα καὶ ἰσχύοντα καὶ ἄνθρωπον πολεμιστὴν
3 καὶ δικαστὴν καὶ προφήτην καὶ στοχαστὴν καὶ πρεσβύτερον [3]καὶ
πεντηκόνταρχον καὶ θαυμαστὸν σύμβουλον καὶ σοφὸν ἀρχιτέκτονα
4 καὶ συνετὸν ἀκροατήν· [4]καὶ ἐπιστήσω νεανίσκους ἄρχοντας αὐτῶν,
5 καὶ ἐμπαῖκται κυριεύσουσιν αὐτῶν. [5]καὶ συμπεσεῖται ὁ λαός,
ἄνθρωπος πρὸς ἄνθρωπον, καὶ ἄνθρωπος πρὸς τὸν πλησίον αὐτοῦ·
προσκόψει τὸ παιδίον πρὸς τὸν πρεσβύτην, ὁ ἄτιμος πρὸς τὸν
6 ἔντιμον. [6]ὅτι ἐπιλήμψεται ἄνθρωπος τοῦ ἀδελφοῦ αὐτοῦ ἢ τοῦ
οἰκείου τοῦ πατρὸς αὐτοῦ λέγων Ἱμάτιον ἔχεις, ἀρχηγὸς ἡμῶν γενοῦ,
7 καὶ τὸ βρῶμα τὸ ἐμὸν ὑπὸ σὲ ἔστω. [7]καὶ ἀποκριθεὶς ἐρεῖ ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ Οὐκ ἔσομαί σου ἀρχηγός· οὐ γὰρ ἔστιν ἐν τῷ οἴκῳ
μου ἄρτος οὐδὲ ἱμάτιον· οὐκ ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ τούτου.
8 [8]ὅτι ἀνεῖται Ἰερουσαλὴμ καὶ ἡ Ἰουδαία συμπέπτωκεν, καὶ αἱ
γλῶσσαι αὐτῶν μετὰ ἀνομίας, τὰ πρὸς Κύριον ἀπειθοῦντες· διότι
9 νῦν ἐταπεινώθη ἡ δόξα αὐτῶν, [9]καὶ ἡ αἰσχύνη τοῦ προσώπου αὐτῶν
ἀντέστη αὐτοῖς· τὴν δὲ ἁμαρτίαν αὐτῶν ὡς Σοδόμων ἀνήγγειλαν
καὶ ἐνεφάνισαν. οὐαὶ τῇ ψυχῇ αὐτῶν, ὅτι βεβούλευνται βουλὴν
10 πονηρὰν καθ' ἑαυτῶν, [10]εἴπαντες Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος
11 ἡμῖν ἐστιν· τοίνυν τὰ γενήματα τῶν ἔργων αὐτῶν φάγονται. [11]οὐαὶ
τῷ ἀνόμῳ· πονηρὰ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβήσεται
12 αὐτῷ. [12]λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς, καὶ οἱ
ἀπαιτοῦντες κυριεύουσιν ὑμῶν. λαός μου, οἱ μακαρίζοντες ὑμᾶς
πλανῶσιν ὑμᾶς καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσουσιν.
13 [13]ἀλλὰ νῦν καταστήσεται εἰς κρίσιν Κύριος, καὶ στήσει εἰς κρίσιν
14 τὸν λαὸν αὐτοῦ· [14]αὐτὸς Κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων
τοῦ λαοῦ καὶ μετὰ τῶν ἀρχόντων αὐτοῦ. ὑμεῖς δὲ τί ἐνεπυρίσατε
τὸν ἀμπελῶνά μου, καὶ ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν;
15 [15]τί ὑμεῖς ἀδικεῖτε τὸν λαόν μου, καὶ τὸ πρόσωπον τῶν πτωχῶν
καταισχύνετε;

III 1 απο Ιερουσαλημ κ. απο της Ιουδ. B *a Iudaea et ab Hierus.* Cyp (Test i 22). 5 παιδιον] παιδαριον V 22 62 106 al. 6 βρωμα] πτωμα conj. Schleusner. 9 οτι] διοτι ℵBQ pl. 10 ειποντες MSS exc A. 12 τον τριβον BQ τας τριβους 24 87 al.

© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-107-46100-0 - The Book of Isaiah: According to the Septuagint: (Codex Alexandrinus)
Edited by R. R. Ottley
Excerpt
More information



16 [16]Τάδε λέγει Κύριος Ἀνθ' ὧν ὑψώθησαν αἱ θυγατέρες Σιών,
καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ καὶ νεύμασιν ὀφθαλμῶν, καὶ τῇ
πορείᾳ τῶν ποδῶν ἅμα σύρουσαι τοὺς χιτῶνας καὶ τοῖς ποσὶν ἅμα
17 παίζουσαι, [17]καὶ ταπεινώσει ὁ θεὸς ἀρχούσας θυγατέρας Σιών.
18 καὶ Κύριος ἀποκαλύψει τὸ σχῆμα αὐτῶν [18]ἐν τῇ ἡμέρᾳ ἐκείνῃ·
καὶ ἀφελεῖ Κύριος τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν, καὶ τοὺς
κόσμους αὐτῶν καὶ τὰ ἐμπλόκια καὶ τοὺς κοσύμβους καὶ τοὺς
19 μηνίσκους, [19]καὶ τὸ κάθεμα καὶ τὸν κόσμον τοῦ προσώπου αὐτῶν,
20 [20]καὶ τὴν σύνθεσιν τοῦ κόσμου τῆς δόξης αὐτῶν, καὶ τοὺς χλιδῶνας
καὶ τὰ ψέλια καὶ τὸ ἐμπλόκιον καὶ τὰ περιδέξια καὶ τοὺς δακ-
21 τυλίους καὶ τὰ ἐνώτια, [21]καὶ τὰ περιπόρφυρα καὶ τὰ μεσοπόρφυρα,
22 [22]καὶ τὰ ἐπιβλήματα τὰ κατὰ τὴν οἰκίαν καὶ τὰ διαφανῆ Λακωνικά,
23 [23]καὶ τὰ βύσσινα καὶ τὰ ὑακίνθινα καὶ τὰ κόκκινα, καὶ τὴν βύσσον,
σὺν χρυσίῳ καὶ ὑακίνθῳ συνκαθυφασμένα, καὶ θέριστρα κατάκλιτα.
24 [24]καὶ ἔσται ἀντὶ ὀσμῆς ἡδείας κονιορτός, καὶ ἀντὶ ζώνης σχοινίῳ
ζώσῃ, καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς τοῦ χρυσίου φαλάκρωμα
ἕξεις διὰ τὰ ἔργα σου, καὶ ἀντὶ τοῦ χιτῶνος τοῦ μεσοπορφύρου
25 περιζώσῃ σάκκον. [25]καὶ ὁ υἱός σου ὁ κάλλιστος ὃν ἀγαπᾷς
μαχαίρᾳ πεσεῖται, καὶ οἱ ἰσχύοντες ὑμῶν μαχαίρᾳ πεσοῦνται καὶ
26 ταπεινωθήσονται· [26]καὶ πενθήσουσιν αἱ θῆκαι τοῦ κόσμου ὑμῶν, καὶ
καταλειφθήσῃ μόνη καὶ εἰς τὴν γῆν ἐδαφισθήσῃ.

1 **IV.** [1]καὶ ἐπιλήμψονται ἑπτὰ γυναῖκες ἀνθρώπου ἑνὸς λέγουσαι
Τὸν ἄρτον ἡμῶν φαγόμεθα, καὶ τὰ ἱμάτια ἡμῶν περιβαλούμεθα·
πλὴν τὸ ὄνομα τὸ σὸν κεκλήσθω ἐφ' ἡμᾶς, ἄφελε τὸν ὀνειδισμὸν
2 ἡμῶν. [2]Τῇ δὲ ἡμέρᾳ ἐκείνῃ λάμψει ὁ θεὸς ἐν βουλῇ μετὰ δόξης
ἐπὶ τῆς γῆς, τοῦ ὑψῶσαι καὶ δοξάσαι τὸ καταλειφθὲν τοῦ Ἰσραήλ·
3 [3]καὶ ἔσται τὸ ὑπολειφθὲν ἐν Σιὼν καὶ τὸ καταλειφθὲν ἐν Ἰερουσαλήμ,

16 *νευμασιν*] pr *εν* B al. *πορια* ℵAQ*. 17 *ανακαλυψει* ℵB pl. 18 om *και τους κοσμους* (*τον κοσμον* 22 al) *αυτων και* B *et ornamenta earum* Cyp (De Hab Virg xiii). 20 *συνεσιν* A. om *αυτων* MSS exc ℵA 24 26 106 144. *τους δακτ. κ. τα περιδεξ.* B *dextralia et anulos* Cyp. 23 om *τα* 3° B 147 al. *κατακλιτα*] *κατακλειστα* (ℵ^c.a)Γ al *κατακλιστρα* ℵ*. 24 *ηδειας*] *ιδιας* AQ*Γ 62 (147) + *και* A*vid *pro odore suavitatis pulvis* Cyp. *σακκον*] + *ταυτα σοι αντι καλλωπισμου σου* 22 al.

IV 2 *επιλαμψει* MSS exc A.

CAMBRIDGE

Cambridge University Press
978-1-107-46100-0 - The Book of Isaiah: According to the Septuagint: (Codex Alexandrinus)
Edited by R. R. Ottley
Excerpt
More information



ἅγιοι κληθήσονται πάντες οἱ γραφέντες εἰς ζωὴν ἐν Ἰερουσαλήμ.
4 [4]ὅτι ἐκπλυνεῖ Κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σιών,
καὶ τὸ αἷμα ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν ἐν πνεύματι κρίσεως.
5 [5]καὶ ἥξει, καὶ ἔσται πᾶς τόπος τοῦ ὄρους Σιὼν καὶ πάντα τὰ
περικύκλῳ αὐτῆς σκιάσει νεφέλη ἡμέρας, καὶ ὡς καπνοῦ καὶ ὡς
φωτὸς πυρὸς καιομένου νυκτός· πάσῃ τῇ δόξῃ Κυρίου σκεπασθήσεται·
6 [6]καὶ ἔσται εἰς σκιὰν ἀπὸ καύματος, καὶ ἐν σκέπῃ καὶ ἐν ἀποκρύφῳ
σκληρότητος καὶ ὑετοῦ.

1 **V.** [1]Ἄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ τῷ ἀμπελῶνί
μου. ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ ἐν κέρατι ἐν τόπῳ πίονι.
2 [2]καὶ φραγμὸν περιέθηκα καὶ ἐχαράκωσα, καὶ ἐφύτευσα ἄμπελον
σωρήχ, καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτοῦ, καὶ προλήνιον ὤρυξα
ἐν αὐτῷ· καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, ἐποίησεν δὲ ἀκάνθας.
3 [3]καὶ νῦν, ἄνθρωπος τοῦ Ἰούδα καὶ οἱ ἐνοικοῦντες ἐν Ἰερουσαλήμ,
4 κρίνατε ἐν ἐμοὶ καὶ ἀνὰ μέσον τοῦ ἀμπελῶνός μου. [4]τί ποιήσω ἔτι
τῷ ἀμπελῶνί μου, καὶ οὐκ ἐποίησα αὐτῷ; διότι ἔμεινα τοῦ ποιῆσαι
5 σταφυλήν, ἐποίησεν δὲ ἀκάνθας. [5]νῦν δὲ ἀναγγελῶ ὑμῖν τί ποιήσω
τῷ ἀμπελῶνί μου. ἀφελῶ τὸν φραγμὸν αὐτοῦ καὶ ἔσται εἰς
διαρπαγήν, καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ καὶ ἔσται εἰς <καταπάτημα>.
6 [6]καὶ ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ οὐδὲ μὴ σκαφῇ,
καὶ ἀναβήσεται εἰς αὐτὸν ὡς εἰς χέρσον ἄκανθα. καὶ ταῖς νεφέλαις
7 ἐντελοῦμαι τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν. [7]ὁ γὰρ ἀμπελὼν Κυρίου
σαβαὼθ οἶκος τοῦ Ἰσραήλ ἐστιν, καὶ ἄνθρωπος τοῦ Ἰούδα νεόφυτον
ἠγαπημένον· ἔμεινα τοῦ ποιῆσαι κρίσιν, ἐποίησεν δὲ ἀνομίαν, καὶ οὐ
8 δικαιοσύνην ἀλλὰ κραυγήν. [8]Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν,
καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι·

4 αιμα]+Ιερουσαλημ ℵ 22 pl. κρισεως]+και πνευματι καυσεως MSS exc A 106. 5 ηξει]+Κυριος (22*vid) 48 al. om ως 2° B al. παση pr και B. σκεπασθ.] Κῡ πασθησεται A (? A?) om Κυριου MSS exc A 106. 6 σκιαν] +ημερας 22 al. απο σκληροτητος MSS exc A.

V 1 αγαπητου]+μου BQmg pl. 2 σωρηκ BQ. και εποιησεν BZ al. 3 οι ενοικ. εν Ιερ. και ανθρ. του Ιουδα B (om. εν 22 41 pl). 5 τοιχον] οικον A* (? οιχ.) τοιχον A[1]. καταπατημα] διαρπαγην A. 6 αναβησονται... ακανθαι B. 7 om εστιν B. 8 τι] om 62 109 al+εως του μη υπαρχειν τοπον 22 al.

© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-107-46100-0 - The Book of Isaiah: According to the Septuagint: (Codex Alexandrinus)
Edited by R. R. Ottley
Excerpt
More information



9 μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς; [9]ἠκούσθη γὰρ εἰς τὰ ὦτα Κυρίου
σαβαὼθ ταῦτα· ἐὰν γὰρ γένωνται οἰκίαι πολλαί, εἰς ἔρημον ἔσονται·
10 μεγάλαι καὶ καλαί, καὶ οὐκ ἔσονται οἱ ἐνοικοῦντες. [10]οὗ γὰρ ἐργῶνται
δέκα ζεύγη βοῶν, ποιήσει κεράμιον ἕν, καὶ ὁ σπείρων ἀρτάβας ἓξ
11 ποιήσει μέτρα τρία. [11]Οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωὶ καὶ τὸ σίκερα
διώκοντες, οἱ μένοντες τὸ ὀψέ· ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει.
12 [12]μετὰ γὰρ κιθάρας καὶ ψαλτηρίου καὶ τυμπάνων καὶ αὐλῶν τὸν
οἶνον πίνουσιν, τὰ δὲ ἔργα Κυρίου οὐκ ἐμβλέπουσιν, καὶ τὰ ἔργα
13 τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσιν. [13]τοίνυν αἰχμάλωτος ὁ λαός μου
ἐγενήθη διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸν κύριον, καὶ πλῆθος ἐγενήθη
14 νεκρῶν διὰ λιμὸν καὶ δίψαν ὕδατος. [14]καὶ ἐπλάτυνεν ὁ ᾅδης τὴν
ψυχὴν αὐτοῦ καὶ διήνοιξεν τὸ στόμα αὐτοῦ τοῦ μὴ διαλιπεῖν, καὶ
καταβήσονται οἱ ἔνδοξοι καὶ οἱ μεγάλοι καὶ οἱ πλούσιοι καὶ οἱ λοιμοὶ
15 αὐτῆς. [15]καὶ ταπεινωθήσεται ἄνθρωπος, καὶ ἀτιμασθήσεται ἀνήρ,
16 καὶ οἱ ὀφθαλμοὶ οἱ μετέωροι ταπεινωθήσονται· [16]καὶ ὑψωθήσεται
Κύριος σαβαὼθ ἐν κρίματι, καὶ ὁ θεὸς ὁ ἅγιος δοξασθήσεται ἐν
17 δικαιοσύνῃ. [17]καὶ βοσκηθήσονται οἱ διηρπασμένοι ὡς ταῦροι, καὶ
τὰς ἐρήμους τῶν ἀπειλημμένων ἄρνες φάγονται.
18 [18]Οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας ὡς σχοινίῳ μακρῷ, καὶ
19 ὡς ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀνομίας, [19]οἱ λέγοντες Τὸ τάχος
ἐγγισάτω ἃ ποιήσει, ἵνα ἴδωμεν, καὶ ἔλθοι ἡ βουλὴ τοῦ ἁγίου
20 <Ἰσραήλ>, ἵνα γνῶμεν. [20]Οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλὸν καὶ
τὸ καλὸν πονηρόν, οἱ τιθέντες τὸ σκότος φῶς καὶ τὸ φῶς σκότος, οἱ
21 τιθέντες τὸ πικρὸν γλυκὺ καὶ τὸ γλυκὺ πικρόν. [21]Οὐαὶ οἱ συνετοὶ
22 ἐν ἑαυτοῖς καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες. [22]Οὐαὶ οἱ ἰσχύοντες
ὑμῶν οἱ τὸν οἶνον πίνοντες καὶ οἱ δυνάσται οἱ κεραννύντες τὸ σίκερα,
23 [23]οἱ δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων καὶ τὸ δίκαιον τοῦ δικαίου
24 αἴροντες. [24]διὰ τοῦτο ὃν τρόπον καυθήσεται καλάμη ὑπὸ ἄνθρακος

8 οικησητε (ℵ) 36 al. 9 ενοικουντες]+εν αυταις MSS exc ℵ$^{\text{c.b}}$ AQ* 106. 11 ουαι οι πινοντες το πρωι τα σικερα και οι μεθυοντες το οψε 301. 13 διψος B. 14 διαλειπειν ΑΓ (93$^{\text{vid}}$) 109. λοιμοι]+και ο αγαλλιωμενος εν αυτη V (22) 36 (62$^{\text{vid}}$) al. 17 απειλημμ.] απηλειμμενων conj. Schleusner. 18 αμαρτιας]+αυτων 22 pl. μακρω] ματαιω? ζυγω 90 233. ιμαντα 62 al. ανομιας]+αυτων 22 pl. 19 ελθοι] ελθετω ℵQ pl ελθατω B. om αγιου 87 97. om Ισραηλ A 106. 21 αυτων B* (αὐτ. B$^{\text{a}}$). 22 πιν. τον οινον B. κεραυνυντες A κεραννοντες ℵ*B*. 24 καυθησεται bis scr A*$^{\text{vid}}$.

© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-107-46100-0 - The Book of Isaiah: According to the Septuagint: (Codex Alexandrinus)
Edited by R. R. Ottley
Excerpt
More information



πυρός, καὶ συγκαυθήσεται ὑπὸ φλογὸς ἀνειμένης, ἡ ῥίζα αὐτῶν ὡς
χνοῦς ἔσται, καὶ τὸ ἄνθος αὐτῶν ὡς κονιορτὸς ἀναβήσεται· οὐ γὰρ
ἠθέλησαν τὸν νόμον Κυρίου σαβαώθ, ἀλλὰ τὸ λόγιον τοῦ <ἁγίου>
25 Ἰσραὴλ παρώξυναν. [25]καὶ ἐθυμώθη ὀργῇ Κύριος σαβαὼθ εἰς τὸν
λαὸν αὐτοῦ, καὶ ἐπέβαλεν τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτοὺς καὶ ἐπάταξεν
αὐτούς· καὶ παρωξύνθη τὰ ὄρη, καὶ ἐγενήθη τὰ θνησιμαῖα αὐτῶν ὡς
κοπρία ἐν μέσῳ ὁδοῦ. ἐν πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμός,
26 ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή. [26]τοιγαροῦν ἀρεῖ σύσσημον ἐν τοῖς ἔθνεσιν
τοῖς μακρὰν καὶ συριεῖ αὐτοῖς ἀπ' ἄκρου τῆς γῆς, καὶ ἰδοὺ ταχὺ
27 κούφως ἔρχονται. [27]οὐ <πεινάσουσιν οὐδὲ> κοπιάσουσιν οὐδὲ
νυστάξουσιν οὐδε κοιμηθήσονται, οὐδ' οὐ μὴ λύσουσιν τὰς ζώνας
αὐτῶν ἀπὸ τῆς ὀσφύος αὐτῶν, οὐδὲ μὴ ῥαγῶσιν οἱ ἱμάντες τῶν
28 ὑποδημάτων αὐτῶν· [28]ὧν τὰ βέλη ὀξεῖά ἐστιν καὶ τὰ τόξα αὐτῶν
ἐντεταμένα. οἱ πόδες τῶν ἵππων αὐτῶν ὡς στερεὰ πέτρα· ἐλογίσθησαν
29 οἱ τροχοὶ τῶν ἁρμάτων αὐτῶν ὡς καταιγίς. [29]ὁρμῶσιν ὡς λέοντες,
καὶ παρεστήκασιν ὡς σκύμνος λέοντος· καὶ ἐπιλήμψεται, καὶ
30 βοήσεται ὡς θηρίον, καὶ ἐκβαλεῖ, καὶ οὐκ ἔσται ὁ ῥυόμενος. [30]καὶ
βοήσεται δι' αὐτοὺς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὡς φωνὴ θαλάσσης κυμαι-
νούσης· καὶ ἐμβλέψονται εἰς τὴν γῆν, καὶ ἰδοὺ σκότος σκληρὸν
ἐν τῇ ἀπορίᾳ αὐτῶν.

1 **VI.** [1]Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς
ἴδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ
2 πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ. [2]καὶ σεραφεὶν ἱστήκεισαν κύκλῳ
αὐτοῦ, ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶν
κατεκάλυπτον τὸ πρόσωπον, καὶ ταῖς δυσὶν κατεκάλυπτον τοὺς
3 πόδας, καὶ ταῖς δυσὶν ἐπέταντο. [3]καὶ ἐκέκραγον ἕτερος πρὸς τὸν
ἕτερον καὶ ἔλεγον Ἅγιος ἅγιος ἅγιος Κύριος σαβαώθ, πλήρης πᾶσα
4 ἡ γῆ τῆς δόξης αὐτοῦ. [4]καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς ἧς

24 χνους] χους Q 49 al. om αγιου A 106 305. Ισραηλ] θεου 93.
25 εις] επι MSS exc A. om αυτου 2° B. εν πασι] pr και ℵB pl. θυμος] +αυτου B pl. 26 αυτοις] αυτους B pl. 27 om πεινασουσιν ουδε A om ου πεινασ. 106. 28 οι ποδες] αι οπλαι Grabe. καταιγιδες 22 al.
29 ορμωσιν] οργιωσιν B. παρεστηκαν B al. ως σκυμνοι B pl. βοησει ℵB pl. ρυομενος]+αυτους ℵB pl. 30 βοησει ℵB al. om εν 1° B pl.
VI 2 ταις δε δυσιν κατεκαλυπτον ℵB pl. 3 εκεκραγεν B al.

© in this web service Cambridge University Press www.cambridge.org

Cambridge University Press
978-1-107-46100-0 - The Book of Isaiah: According to the Septuagint: (Codex Alexandrinus)
Edited by R. R. Ottley
Excerpt
More information



5 ἐκέκραγον, καὶ ὁ οἶκος ἐπλήσθη καπνοῦ. [5]καὶ εἶπα Ὦ τάλας ἐγώ,
ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ὢν καὶ ἀκάθαρτα χείλη ἔχων ἐν
μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ, καὶ τὸν βασιλέα
6 Κύριον σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου. [6]καὶ ἀπεστάλη πρὸς μὲ
ἓν τῶν σεραφείμ, καὶ ἐν τῇ χειρὶ εἶχεν ἄνθρακα πυρὸς ὃν τῇ λαβίδι
7 ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου, [7]καὶ ἥψατο τοῦ στόματός μου καὶ
εἶπεν Ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας
8 σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ. [8]καὶ ἤκουσα τῆς φωνῆς
Κυρίου λέγοντος Τίνα ἀποστείλω, καὶ τίς πορεύσεται πρὸς τὸν
9 λαὸν τοῦτον; καὶ εἶπα Ἰδού εἰμι ἐγώ· ἀπόστειλόν με. [9]καὶ εἶπεν
Πορεύθητι καὶ εἰπὸν τῷ λαῷ τούτῳ Ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε,
10 καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε. [10]ἐπαχύνθη γὰρ ἡ καρδία
τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς
ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μή ποτε ἴδωσιν τοῖς ὀφθαλμοῖς καὶ
τοῖς ὠσὶν ἀκούσωσιν, καὶ τῇ καρδίᾳ συνῶσιν καὶ ἐπιστρέψωσιν,
11 καὶ ἰάσομαι αὐτούς. [11]καὶ εἶπα Ἕως πότε, Κύριε; καὶ εἶπεν
Ἕως ἂν ἐρημωθῶσιν πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι
παρὰ τὸ μὴ εἶναι ἀνθρώπους, καὶ ἡ γῆ καταλειφθήσεται ἔρημος.
12 [12]καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ θεὸς τοὺς ἀνθρώπους, καὶ οἱ καταλειφ-
13 θέντες πληθυνθήσονται ἐπὶ τῆς γῆς, [13]καὶ ἔτι ἐπ' αὐτῆς ἐστιν
τὸ ἐπιδέκατον, καὶ πάλιν ἔσται εἰς προνομήν, ὡς τερέβινθος καὶ
ὡς βάλανος ὅταν ἐκσπασθῇ ἀπὸ τῆς θήκης αὐτῆς.

1 **VII.** [1]Καὶ ἐγένετο ἐν ταῖς ἡμέραις Ἀχὰζ τοῦ Ἰωαθὰμ τοῦ υἱοῦ
Ὀζίου βασιλέως Ἰούδα ἀνέβη Ῥαασσὼν βασιλεὺς Ἀρὰμ καὶ Φάκεε
υἱὸς Ῥομελίου βασιλεὺς Ἰσραὴλ ἐπὶ Ἰερουσαλὴμ πολεμῆσαι αὐτήν,
2 καὶ οὐκ ἠδυνήθησαν πολιορκῆσαι αὐτήν. [2]καὶ ἀνηγγέλη εἰς τὸν οἶκον
Δαυεὶδ λέγοντες Συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφράιμ· καὶ ἐξέστη
ἡ ψυχὴ αὐτοῦ καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ, ὅταν ὃν τρόπον ἐν δρυμῷ

4 *ενεπλησθη* BQ[a] pl. 5 *ειπον* B pl. *κατανενυγμαι*] *τιμωρουμε* 106. 6 *χειρι*] + *αυτου* 24 36 al. om *πυρος* ℵBQ pl. 9 *ακουσητε* ΑΓ 91 97 (-*ται* 106) 147 233. 10 om *αυτων* 2° B. 13 *εκσπασθη*] *εκπεση* MSS exc A 106 301. *απο*] *εκ* B pl om 301 txt ℵAQ 26 106. *αυτης*] + *σπερμα αγιον το στηλωμα αυτης* 22 87 pl.

VII 1 *Ραασσων*] *Ρασειν* B. 2 *λεγοντες*] *λεγων* ℵB *λεγοντων* 22 109 al. *ον τροπον οταν* Q 36 62 106 301 al om *οταν* ℵB 22 al.

© in this web service Cambridge University Press www.cambridge.org